*ΠΑΙ.* οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ' οἰκεῖ νάμαθ', Ἱππομέδων ἄναξ.
*ΑΝ.* ἒ ἒ ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν,
γίγαντι γηγενέτᾳ προσόμοιος
ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ πρόσφορος
ἁμερίῳ γέννᾳ.
τὸν δ' ἐξαμείβοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ;
ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
τίς δ' ἐστὶν οὗτος; *ΠΑΙ.* παῖς μὲν Οἰνέως ἔφυ
Τυδεύς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.
*ΑΝ.* οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
αὐτοκασιγνήτας νύμφας
ὁμόγαμος κυρεῖ;
ὡς ἀλλόχρως ὅπλοισι, μιξοβάρβαρος.
*ΠΑΙ.* σακεσφόροι γὰρ πάντες Αἰτωλοί, τέκνον,
λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.
*ΑΝ.* σὺ δ', ὦ γέρον, πῶς αἰσθάνει σαφῶς τάδε;
*ΠΑΙ.* σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα, 142
ἃ προσδεδορκὼς οἶδα τοὺς ὡπλισμένους. 144
*ΑΝ.* τίς δ' οὗτος ἀμφὶ μνῆμα τὸ Ζήθου περᾷ
καταβόστρυχος, ὄμμασι γοργὸς εἰσ-
ιδεῖν νεανίας
λοχαγός; ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
πάνοπλος ἀμφέπει.
*ΠΑΙ.* ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.
*ΑΝ.* ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος
Ἄρτεμις ἱεμένα τόξοις δαμάσασ' ὀλέσειεν,
ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.
*ΠΑΙ.* εἴη τάδ', ὦ παῖ. σὺν δίκῃ δ' ἥκουσι γῆν·
ὃ καὶ δέδοικα μὴ σκοπῶσ' ὀρθῶς θεοί.
*ΑΝ.* ποῦ δ' ὃς ἐμοὶ μιᾶς ἐγένετ' ἐκ ματρὸς

---

σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων 143

---

131. *ΠΑΙ.* libri. Antigonae continuavit Hamakerus. 134. *ἄρη* bc 148. *λοχαγός; ως ὄχλος*] Marklandus, *ΠΑΙ. λοχαγός. ΑΝ. ὡς ὄχλος* libri. 156. *ματρός*] L. Dindorfius, *ματέρος* fere libri.